*10* ἢ πρὸς βεβήλοις: βέβηλος τόπος ἐστὶν ὁ ἀκάθαρτος καὶ βατὸς πᾶσι. καὶ βέβηλος ἀνὴρ ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ [fr. 648 N.²]

οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων

καὶ [Orphicorum Fr. 334, Kern]

ἀείδω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι.

βεβήλοις τοῖς πᾶσι βασίμοις τόποις μηδὲ ἀνειμένοις θεοῖς. ἐκ μεταφορᾶς δὲ βεβήλους καὶ τοὺς ἀμυήτους φασὶ καὶ ἀκαθάρτους. Σοφοκλῆς ἐν Συνδείπνῳ [fr. 147 N² = 570 Pear.] βέβηλον τὸν ἰδιώτην φησίν. LRM

βεβήλοις] βατοῖς. L

*11* στῆσον] στῆσόν με ἐκ τῆς ὁδοιπορίας καὶ μαθησόμεθα. LR

πυθοίμεθα] μαθησόμεθα. L

*12* μανθάνειν γὰρ ἥκομεν: εἰς γὰρ τοῦτο, φησίν, ἐληλύθαμεν, ἅτε δὴ ξένοι ὄντες, παρὰ τῶν ἀστῶν μανθάνειν τί ἐστι πρακτέον ἡμῖν. LR

*13* τελεῖν] πο⟨ιεῖν⟩. L

*14* πάτερ ταλαίπωρε: οὐκ ἐμπαροινεῖν βουλομένη τῷ πατρὶ ταλαίπωρον ἀποκαλεῖ, ἀλλὰ τοῦ πάθους παριστᾶσα τὸ μέγεθος. πωρεῖν δὲ οἱ Ἠλεῖοι τὸ πενθεῖν φασι· καὶ Ἀντίμαχος [fr. 48 Wyss]

πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος
⟨θέντο⟩·

παρὰ τοῦτο οὖν τὸ ταλαίπωρος ἐτυμολογεῖται. LRM

*15* ὡς ἀπ' ὀμμάτων πρόσω: γρ. ὡς ἀνομμάτῳ, ὅ ἐστιν ὡς τυφλῷ σημῆναι, πρόσω εἰσίν. ὡς ἄν τις πόρρω ἀφορῶν τεκμήραιτο. ὡς ἄν τις τὰ ὄμματα πόρρω ἔχων. ὡς ἔστιν ἐκ προόψεως τεκμήρασθαι. LR

ὡς] λίαν. L

---

10 SU. in v. βέβηλος τόπος, EM 194.2, An. Bk. 323.13 et 223.24, EUST. 156.29, sch. in AESCHYL. Suppl. 509, HE., An. Ba. 179.20 14 SU. in v. ταλαίπωρος, sch. in EUR. Or. 392, EM 744.53, sch. in ARISTOPH. Pl. 33 (fortasse e Su.), HE. in v. πωρητύς 15 SU. in v. στέγει λίαν: sch. in EUR. Med. 328, Ph. 148, SU., HE. in v. ὡς, EM 824.13

---

3 βεβήλοις codd. et Su., corr. Turn. 4 s. καί... βέβηλοι om. RM 6 βεβήλοις οὖν L 7 βεβήλους τοὺς RM φησὶ RM σοφοκλῆς δὲ L 10 στ. με et καὶ μαθ. om. R 12 ἐληλ.] παραγενώμεθα R 15 ἐνπαροι. L τὸν πατέρα RM 15 s. καλεῖ RM 16 παριστῶσα RM πωρεῖν] in mg. σῃ L 17 φησι L 18 πωρήτοιν L, πωρεῖτον (h. e. -ρῆ- cum Su.) RM, sincerum πωρητὺν servavit scholiorum in Eur. liber Vat. 909 (cfr. testim.) 19 θέντο e Su. accessit 20 τὸ om. L 21 γρ. ὡς ἀνομμάτῳ om. R; cfr. Wolff (XXVIII) alterum ὡς om. R





*16* βρύων] πλήθων. L

*17* πυκνόπτεροι δ' εἴσω: οἷον, κατὰ τὸν χῶρον. ἐκράτησε δὲ μεγάλως τῇ φράσει, ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί. LR

*18* κατ' αὐτόν] κατὰ τὸν χῶρον. L

εὐστομοῦσιν: εὐφθογγοῦσιν, εὐφώνως ᾄδουσιν. L

*19* πέτρου] ἐπὶ τοῦ λιθίνου βάθρου. γρ. πάγου. L

*20* προὐστάλης ὁδόν: προῆλθες μακροτάτην ὁδὸν ἢ ὡς ἥρμοζε γέροντι. LRM

*22* χρόνου μὲν οὕνεκα: ἀντὶ τοῦ δεδίδαγμαι τῷ χρόνῳ τὸ φυλάττειν σε ὁδηγοῦσα· σύνηθες οὖν τὸ πρᾶγμα. τοῦ μὲν χρόνου οὗ σύνειμί σοι χάριν, οὐ χρεία μαθεῖν ὅτι τυφλὸς εἶ καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν. LRM

*24* τὰς γοῦν Ἀθήνας οἶδα: ὅτι ἐν τῇ Ἀττικῇ ἐσμεν οἶδα, τίς δέ ἐστιν οὗτος ὁ δῆμος ἀγνοῶ. L

*25* ηὔδα] τί ηὔδα; ὅτι αὗταί εἰσιν αἱ Ἀθῆναι. ἐμπόρων δὲ ἀντὶ τοῦ ὁδοιπόρων, διὸ τὸ χ. LR

*26* ἀλλ' ὅστις] ἐν ἐρωτήσει ὁ λόγος· βούλει μάθω τίς ὁ πρὸ τοῦ ἄστεος τόπος; LRM

ἦ] ἆρα. L

*27* ἐξοικήσιμος] ἀντὶ τοῦ ἐνοικήσιμος. L

*28* οἶμαι δὲ δεῖν οὐδέν: οὐ δεῖν τοῦ [μὴ] ἐλθοῦσαν ἐρωτῆσαί με. L ἰδοὺ γὰρ ἀνὴρ πάρεστι παρ' οὗ εἰσόμεθα· οἷον, οὐκέτι δεῖν ἔοικε προϊοῦσαν μανθάνειν περὶ τοῦ τόπου. καλῶς δὲ τὰ τῆς οἰκονομίας, ἵνα μὴ μόνος ὁ Οἰδίπους ἀπολειφθῇ. LRM

*30* ἢ δεῦρο] κατ' ἐρώτησιν. L

*31* χὤτι σοι λέγειν: καὶ ὅπερ σοι λέγειν εὔκαιρον νομίζεις, λέγε· ἀκούσεται γάρ. LRM

---

17 ARISTOPH. fr. 581 K., An. Paris. I 19, vitam Sophoclis sub fin. (unde Su. in v. Σοφ.), sch. in SOPH. Ai. 1119, in ARISTOPH. Ve. 462, Pac. 531 et infra ad v. 668 20 SU. in v. οὗ 25 sch. in AESCHY. Cho. 661, in EUR. Alc. 999 28 οἰκονομία: Salusti ὑπόθεσις, sch. ad vv. 237, 297, 551, 887, necnon in Ai. 342, El. 312, 818, 1098, OT 118

---

2 πυκνώτεροι δ' οἱ κατὰ R 7 μακρότατον RM, μακροτέραν Lasc. et editores plerique, sed cfr. Matser II 1, 54 9 εἰς τὸ αὐτό· τοῦ μὲν χρ. L τῷ μὲν χρόνῳ οὐ συνίημι RM 9 s. οὐ χρὴ οὖν RM 13 in mg. χ L 14 διὸ τὸ χ om. R 18 del. Lasc., qui προελθοῦσαν scripsit 19 προσιοῦσαν RM

τοῦ χαλκοῦ ὀδοῦ καὶ Ἀστυδάμας [N², fr. 9]· καί τις τῶν χρησμοποιῶν φησι

Βοιωτοὶ δ' ἵπποιο ποτιστείχουσι κολωνὸν
ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος οὐδός.

οὕτω δὲ ἐκαλεῖτο διὰ τὸ εἶναι μέταλλα χαλκοῦ ἐν τῷ Κολωνῷ. LRM
τὸ ἑξῆς, ὃν δ' ἐπιστείβεις τόπον χθονὸς τῆσδε καλεῖται χαλκόπους ὁδός. L

61 τὸ τοῦδε κοινόν: τὸ τοῦ Κολωνοῦ ὄνομα κοινὸν φέρουσι πάντες, ὠνομασμένοι Κολωνιᾶται δηλονότι. LR

63 τῇ ξυνουσίᾳ πλέον: τῷ ἔργῳ καὶ τῇ πείρᾳ πλέον τιμώμενα, οὐ τοῖς λόγοις. LR

65 ἐπώνυμοι] Κολωνιᾶται καλούμενοι. L

66 ἢ 'πὶ τῷ πλήθει λόγος; : ἢ ἐν τῷ πλήθει ἐστὶν ἡ ἰσχύς, τουτέστιν δημοκρατοῦνται; L

71 ἢ καταρτύσων μόλοι: παρασκευάσων, εὐτρεπίσων· Ὅμηρος (δ 782)

ἠρτύναντο δ' ἐρετμά.

καὶ (λ 439)

Κλυταιμήστρα δόλον ἤρτυε.

τὸ δὲ ἑξῆς, ὡς πρὸς τί λέξων αὐτῷ μόλοι τις. ἢ πρὸς τί εὐτρεπίσων αὐτὸν μολεῖν; LRM

72 ὡς ἂν προσαρκῶν: τὰ αὐτὰ αὖθις ἐρεῖ [v. 92], ὅτι ἐπ' ὠφελείᾳ τοῦτο γίνεται τῶν δεχομένων αὐτὸν καὶ θαπτόντων, ἐπὶ βλάβῃ δὲ τῶν ἀποπεμψάντων. LRM

76 πλὴν τοῦ δαίμονος] πλὴν τῆς τύχης. L

77 αὐτοῦ] αὐτόθι. L

79 σοι] γε

84 ὦ πότνιαι δεινῶπες] τὸ ἐντελὲς ὦ πότνιαι. ὁ δὲ νοῦς οὕτως· ἐπειδὴ ἦλθον πρὸς ὑμᾶς μὴ ἐναντιωθῆτέ μοι καὶ τῷ χρήσαντί μοι Ἀπόλλωνι. LR

63 SU. in v. ξυνουσία    71 SU. in v. καταρτύσων    76 SU. in v. δαίμων

3 ἵπποι ποτὲ στείχουσι RM    4 προκάρανος (-κρα- M) RM    8 κωλωνᾶται R    9 τῇ πείρᾳ πλέον καὶ L, om. R, corr. Lasc.    12 δημοκρατοῦντες L, corr. Lasc.    14 καὶ Ὅ. RM    16 s. καὶ κλ. δ. ἤ. om. RM    18 ὡς τί προσλέξων L    αὐτῷ μόλοι τις et πρός τί om. RM    20 τὰ αὐ.] ταῦτα RM    τοῦτο γίνεται om. RM    26 haec qui scripsit fortasse πότνι' αἱ δειν. legerat (cfr. Papag. Kritische u. Paläogr. Beitr. z. Soph. Scholien 50)    πότνια RM    27 ἡμᾶς RM    χρήσαντί με L, χρήσαντι RM, corr. Nevius





εὖτε] ὅτε, ἐπειδή. L

86 ἀγνώμονες] ἐναντιογνώμονες, ἀσύγγνωστοι. L

89 τερμίαν: αὐτῷ εἱμαρμένην, ἐφ' ἧς ἔμελλε τὸ τέλος τοῦ βίου εὑρήσειν. LR

90 ξενόστασιν] γρ. καὶ κατάστασιν. L

91 ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον: εἰσί γε μὴν οἵ φασι τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι ἐν Ἐτεωνῷ, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσήμου χωρίου, καθάπερ ἱστορεῖν φησιν Ἀρίζηλον Λυσίμαχος ὁ Ἀλεξανδρεὺς [F Gr Hist CCCLXXXII 2] ἐν τῷ ιγ̄ τῶν Θηβαικῶν, γράφων οὕτως· "Οἰδίπου δὲ τελευτήσαντος καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανοουμένων, ἐκώλυον οἱ Θηβαῖοι διὰ τὰς προγεγενημένας συμφοράς, ὡς ὄντος ἀσεβοῦς· οἱ δὲ κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας καλούμενον Κεόν, ἔθαψαν αὐτόν· γινομένων δὲ τοῖς ἐν τῇ κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τὴν Οἰδίπου ταφήν, ἐκέλευον τοὺς φίλους ἀναιρεῖν αὐτὸν ἐκ τῆς χώρας· οἱ δὲ διαπορούμενοι τοῖς συμβαίνουσιν, ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν· βουλόμενοι δὲ λάθρᾳ τὴν ταφὴν ποιήσασθαι, καταθάπτουσι νυκτὸς ἐν ἱερῷ Δήμητρος, ἀγνοήσαντες τὸν τόπον· καταφανοῦς δὲ γενομένου, πέμψαντες οἱ τὸν Ἐτεωνὸν κατοικοῦντες, τὸν θεὸν ἐπηρώτων τί ποιῶσιν· ὁ δὲ θεὸς εἶπεν μὴ κινεῖν τὸν ἱκέτην τῆς θεοῦ· διόπερ αὐτοῦ τέθαπται· τὸ δὲ ἱερὸν Οἰδιπόδειον κληθῆναι". LRM

92 κέρδη μὲν οἰκήσαντα: ὁ ποιητὴς χαριζόμενος Ἀθηναίοις τοῦτό φησιν· ἐδόκουν γὰρ τότε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς ἀλλήλους διαφέρεσθαι. LR

95 ταῦτα ἐπὶ τέλους τοῦ δράματος [vv. 1462 ss.] γίνονται. LR

97 οὐκ ἔσθ' ὅπως οὐ πιστόν: οἷον, κατὰ διάνοιαν, φησίν, ἐξ ὑμῶν τῶν θεῶν εἰς τὸν τόπον ἀφῖγμαι. LRM

πτερόν] οἰωνός. L

86 HE., SU. in v. ἀγνώμονες    89 SU. in v. τερμία ἡμέρα    92 ὑπόθεσις I. et infra 457, 668, 712, 1593, necnon sch. in El. 707, in AESCHY. Eu. 11, in EUR. Tr. 31, 209

3 γρ. παῦλαν voci τερμίαν praeposuerat delevitque L    5 μὴν om. L    7 καὶ ἀσήμου RM    8 ἐν τῷ γ? C. Mueller [HGF III 336]    γράφοντα Radtke (De Lysimacho Alexandrino, Diss. Argent. 1893, p. 5), cum proxima iam inde ab Οἰδίπου δὲ non Lysimachi sed potius Arizeli sint    9 φίλων θάπτειν αὐτοῦ νοουμένου ἐν Θ. RM    12 γενομένων R, -νοις M    κόμῃ LM    13 οἰδίποδος RM    14 ἀπορούμενοι L    18 ποιήσουσιν RM    19 τῆς θ. om. RM    25 ἀφιγμένος RM

292 τἀνθυμήματα] εἶπεν γὰρ σῴζειν τὰς Ἀθήνας. L

293 λόγοισι γὰρ οὐχ ὠνόμασται: ὅσα εἴρηταί σοι ἐνθυμήματα περὶ τῆς σωτηρίας τῶν Ἀθηνῶν. LRM    ἀρκεῖ δέ μοι, φησί, τὸ τοὺς ἡγεμόνας μου περὶ τούτων σκοπεῖν. L

294 βραχέσι] εὐτελέσι. L

297 εὖ τῇ οἰκονομίᾳ ὥστε μὴ διατριβὰς γενέσθαι, τίς ὁ καλέσων ἔσται. LRM

301 τοὔνομ' αἴσθηται τὸ σόν] τὸ γὰρ ὄνομα Οἰδίποδος πανταχοῦ. L

303-4 εἰκὸς οὖν ἐστιν ἡμῶν ἀκηκοότων καὶ ἕτερον μεμαθηκέναι. ὁ γὰρ ἀπεληλυθὼς πρότερον οὐδέπω μεμαθήκει ὅστις ἦν· τῷ γὰρ χορῷ πρώτῳ ὡμολόγησεν.    διὰ μέσου τὸ θάρσει. LRM

305 πολὺ γάρ] διὰ τὰς πράξεις, οἷον τὴν Σφίγγα καὶ ὅσα ἄλλα αὐτῷ πέπρακται. LRM

307 κλύων σου] λείπει ἡ περί, περὶ σοῦ κλύων. L

309 ὁ γὰρ ἀγαθὸς αὑτῷ τε καὶ τοῖς φίλοις ἐστὶν ⟨χρήσιμος⟩. L

φίλος] ἀντὶ τοῦ χρήσιμος. L

311 ἡ Ἰσμήνη πρόσεισι, τὰ κατὰ τοὺς ἄρρενας ἀπαγγέλλουσα παῖδας τοῦ Οἰδίπου πῶς ἔσχον. LRM

312 ἡμῶν ἆσσον] ἀντὶ τοῦ πρὸς ἡμᾶς. L

Αἰτναίας] τῆς Σικελικῆς. λέγει δὲ ἀντὶ τῆς μεγάλης. L

313 ἡλιοστερής: σκιαστική. πλατύπιλος κυνῆ τὴν ὄψιν αὐτῆς περιέχει, καλύπτουσα καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν    τὸ ἑξῆς, κρατὶ ἡλιοστερὴς κυνῆ. LRM

314 κυνῆ πρόσωπα Θεσσαλίς: καὶ γὰρ περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι, ὡς καὶ Καλλίμαχος [fr. 304 Pf. = 137 Kapp.]

> ἀμφὶ δὲ οἱ κεφαλῇ νέον Αἱμονίηθεν
> μεμβλωκὸς πῖλημα περίτροχον ἄλκαρ ἔκειτο
> εἴδεος ⟨ἐνδίοιο⟩. LRM

294 SU. in v. βραχυμυθίας    297 cfr. 28 cum adn.    309 SU.    312² HE.; μεγ.: SU.; sch. in ARISTOPH. Pac. 73, PAROEM. (Diogen. I 59, Apost. I 79, Greg. Cypr. II 24): quae apud Hesy. leguntur ita sunt ordinanda: ἡ Σικ., ἀπὸ μέρους· ἡ μεγ.    313 SU.; cfr. EUST. 803, 1

2 ἴσα RM    6 εὖ] ἐν RM    10 μέσου δὲ L    14 suppl. Su.    16 πρόεισι RM    τοῦ Οἰ. om. RM    20 σκιαστή R, σκιαστὸ M    21 ἐξ. δὲ L, ἐξ. μὲν RM    22 θεσσαλοὶ RM    24 εἴδεος ἀμφὶ δέ οἱ (ἀμφιδέοι L) codd., vocem εἰδ. tertio incipienti versui restituit Toup    αἱμενίηθεν L, αἱμηνίηθεν RM    25 πέτρου L, πέτροχον RM, corr. Su. in v. πίλ. περιτρ.    26 ἐνδίοιο ex Hesy., in v. εἴδεος ἐνδ., accessit





κυνῆ] περικεφαλαία. L

316 ἆρά ἐστιν ἡ Ἰσμήνη; ἆρα οὐκ ἔστιν; L

319 τὸ ἑξῆς, φαιδρὰ προσστείχουσα. L    φαιδρὰ δὲ ἀντὶ τοῦ φαιδρῶς. LRM

320 σημαίνει] εἰς γνῶσίν με ἐφέλκεται. LRM

323 αὐδῇ] ἐκ τῆς φωνῆς ἔξεστι μαθεῖν. LRM

326 τὸ ἑξῆς, εὑροῦσα δεύτερον. LRM

329 δυοῖν] σοῦ καὶ Ἀντιγόνης. L

330 τροφαί] ἡμῶν, δηλονότι. L

331 ἐμοῦ τρίτης] οἱ γὰρ περιλαμβάνοντές τινα καὶ ἑαυτοὺς τρόπον τινὰ περιλαμβάνουσιν.    ἰδιαζόντως εἶπεν ὡς ἑαυτῆς τρίτης θιγγάνει, εἰ μὴ ἄρα πρὸς τὸ δυσαθλία ὑπήντηκεν. LRM

332 σῇ, πάτερ, προμηθίᾳ] ἀντὶ τοῦ διὰ τὴν σὴν πρόνοιαν. LM

335 ποῖ νεανίαι πονεῖν;] ποῦ τοῦ πονεῖν εἰσιν; L

336 δεινὰ δ' ἐν κείνοις τὰ νῦν] νῦν δὲ τὰ ἐν ἐκείνοις δεινά ἐστιν. L

337 ὦ πάντ' ἐκείνω: διαβάλλει τοὺς Αἰγυπτίους ὡς παρὰ τὸ πρέπον διαιτωμένους καὶ γυναῖκας καὶ ἄνδρας.    Νυμφόδωρος [HGF II, p. 380] ἐν τῇ ιγ̄ τῶν Βαρβαρικῶν· γράφει οὕτως. "ἔθεσι δὲ τὰ μὲν ἐναντίως τὰ δὲ ὁμοίως χρῶνται τοῖς Ἕλλησι· τὸ μὲν γὰρ ἐξίστασθαι τοῖς πρεσβυτέροις τοὺς νεωτέρους, ὁμοτρόπως καὶ ἡμῖν διοικοῦσι, τῶν δ' ἄλλων οὐδέν. ἐν μὲν γὰρ τοῖς Ἕλλησιν οἱ μὲν ἄνδρες κατὰ τὴν ἀγορὰν οἰκονομοῦσιν, αἱ δὲ γυναῖκες ἔνδον μένουσαι ταλασιουργοῦσιν· ἐκεῖ δὲ αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περιπατοῦσαι καπηλεύουσιν, οἱ δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν. ὁ γὰρ Σέσωστρις ἐκθηλῦναι τοὺς ἄνδρας βουλόμενος, ἅτε μεγίστης χώρας γεγενημένους καὶ πολλοὺς ὄντας, ὅπως μὴ

320 SU.    337 cfr. HEROD. II 35, 80¹

3 προστ. cod., ut in textu, quem corr. Dind.    4 μοι RM    10 ἰδιαζόντως δὲ L, καὶ ἄλλως· ἰδιαζ. RM    11 δυσάθλιαι Tr. ἀπηντ. Tr. et Schneidewin (N. Jahrb. f. Phil. u. Pädag. LXVII [1853], 507); fortasse δυσαθλία τροφά (v. 330) interpres legerat    15 οἷα πεποίηκεν τοῖς Αἰγυπτίοις Σέσωστρις scholio praeposuit RM    16 Νυμφήδωρος (-φι-R) RM    Νυμφ. δὲ L    18 ἐναντίοις L (quapropter ὁμοίως in ὁμοίοις mutavere Lasc., Elms., Pap.) γὰρ om. RM    19 ἡμῖν καὶ codd., corr. Lasc.    21 μίμνουσαι RM    ἐκεῖ μὲν RM    22 ἐν τῇ ἀγορᾷ RM    περιπατοῦσι καὶ καπηλ. L    κατ' οἰκ. RM    23 ἐλκυσθῆναι codd., corr. Tr.

457 εἰ ὑμεῖς συμβάλησθέ μοι, ⟨τῷ⟩ ἑαυτῶν συμβάλλεσθε. χρησμὸς γὰρ ἦν ὡς εἰ Ἀθηναῖοι τοῦ τάφου αὐτοῦ ἐγκρατεῖς γένωνται, ἔσοιτο αὐτοῖς ποτε σωτὴρ πολιορκουμένοις ὑπὸ Θηβαίων, εἴτε κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, εἴτε καθ' ἕτερον. ταῦτα δὲ εἰκὸς ποιητικώτερον ὑπὸ τοῦ Σοφοκλέους πεπλάσθαι ἐπὶ θεραπείᾳ τῶν Ἀθηναίων· πολλαχοῦ δὲ οἱ τραγικοὶ χαρίζονται ταῖς πατρίσιν ἔνια. LRM

458 πρός] σύν. L

462 ἐπεὶ δὲ τῆσδε γῆς: ὅτι δὲ σῴζειν ὑπισχνῇ τὴν πόλιν, ὑποθέσθαι σοι βούλομαι τὰ χρήσιμα. Ἀττικῶς πάνυ τῇ συντάξει, καὶ πιθανὴ λοιπὸν ἡ χάρις τῶν ἐγχωρίων ἀνδρῶν· παραινοῦσι γὰρ αὐτὸν καθαρσίων τυχεῖν, ἵνα ἧττόν πως ἐναγὴς φαίνοιτο. LRM

465 προξένει] ὡς φής, προξένει μοι καὶ πάρεχε τὰ χρήσιμα· -οὐ γὰρ ὀκνήσαιμι τελεῖν. LRM

προξένει] λέγε. L

467 καὶ κατέστεψας: καθικέτευσας, μετὰ ἱκετηριῶν ἀφίκου. ἐὰν δὲ γράφηται κατέστειψας, οἷον ἐμπεριεπάτησας, ἀνεστράφης, ὃ καὶ πιθανώτερον· δι' αὐτὸ γὰρ τοῦτο προστάσσουσιν αὐτὸν καθαίρεσθαι, ὅτι εἰς ἄβατον ἐπέβη τόπον τοῦ ἱεροῦ τῶν Σεμνῶν. LRM

κατέστειψας] κατεβάτευσας. L

γρ. κατάστεψον, μεθ' ἱκετηριῶν ἀφηγοῦ. L

469 πρῶτον μὲν ἱερὰς: ἐξ ἀενάου πηγῆς ὕδωρ ἄρυσαι καὶ οὕτω χοὰς ταῖς θεαῖς ποίησον ἀπὸ τῶν κρατήρων, πλήσας αὐτοὺς ἀπὸ τοῦ ἀντληθέντος ὕδατος. LRM

471 ἀντί, καὶ ὅταν ἀρύσωμαι, τί πράξω; LR

---

457 cfr. test. ad 92, 287     465 SU.     467³ SU. in v. κατάστεψον πέδον

---

1 ὑμεῖς συμβάλεισθε RM, ὑ. συμβαλεῖσθε voluit Lange (ap. Pap.)   μοι... συμβάλλεσθε om. RM   suppl. Pap., ἑαυτοῖς P¹   ἑα. συμβαλεῖσθε dubitanter Pap.   2 γένονται L   ποτε om. RM   6 τοῖς πατρᾶσιν RM   8 σώζει ὑπισχνεῖται RM   βούλομαι om. RM   9 ἀττικῶς δὲ L   10 καὶ καθαρσ. RM   15 in le. κατέστιψας L   ἱκετερίας RM   16 κατέστιψας L   οἷον κατεβάτευσας ὃ καὶ πιθ. L   17 κελεύουσιν αὐτῷ L   18 τόπον om. RM   21 ἐξ om. RM   ἀρύσαι (-ρῦ-RM) codd., corr. Lasc.   22 τοῦ κρατῆρος RM   alterum ἀπὸ secl. Pap.   24 ἀντί om. R   ποιήσω R





472 ἀνδρὸς εὔχειρος: ἐπὶ τὸν Δαίδαλον ἡ ἀναφορά, περὶ οὗ Φερεκύδης φησὶν οὕτω [Fr Gr Hist III 146] "Μητίονι δὲ τῷ Ἐρεχθέως καὶ Ἰφινόῃ γίνεται Δαίδαλος, ἀφ' οὗ ὁ δῆμος καλεῖται Δαιδαλίδαι Ἀθήνησι". LRM

εὔχειρος] εὐπαλάμου. L

εὔχειρος] εὐπαλάμου, κατὰ τὴν μετάληψιν. LRM

473 καὶ λαβὰς ἀμφιστόμους: τὰ ὦτα ὧν ἔστι λαβέσθαι ἀμφοτέρωθεν. ἀμφιστόμους δὲ τὰς ἑκατέρωθεν ἐστομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι, ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας. ἔρεψον καὶ τῶν κρατήρων τὴν κεφαλήν. LR

λαβάς] ὠτία. L

ἀμφιστόμους] διὰ τῶν προτομῶν. L

475 οἰὸς νεαρᾶς] ἀντὶ τοῦ νέας. L

οἰοπόκῳ μαλλῷ: στολισμῷ ἢ κροκισμῷ. ⟨τὸ χ⟩ ὅτι στέμματα ἔλεγον καὶ τὰ ἔρια. LR καὶ παρ' Εὐριπίδῃ [Or. 12]

"ᾧ στέμματα ξήνασ' ἐπέκλωσεν". L

οἰνεοτόκῳ] οἰοπόκῳ .

μαλλῷ λαβών] ἐρίῳ στέψον. L

477 χοὰς χέασθαι στάντα πρὸς ἕω: πρὸς τὴν ἀνατολήν· καὶ γὰρ δὴ καὶ τὰς ἐκθύσεις πρὸς ἥλιον ἐποιοῦντο, καθάπερ καὶ ἐν Ἠλέκτρᾳ (424 s.)

τοιαῦτά του παρόντος, ἡνίχ' ἡλίῳ
δείκνυε τοὔναρ, ἔκλυον ἐξηγουμένου.

---

472 PLAT. Ion 533A, DIOD. SIC. IV 76¹   472²⁻³ interpreti qui εὐπαλάμου scripsit vetus obversata est fama, qua non Μητίων sed Εὐπάλαμος Daedalum genuit ([APOLLOD.] III 15, 8, sch. in PLAT. Remp. 529D et Alcib. I 121A, SU. et PH. in v. Πέρδικος ἱερόν, SERV. in Aen. VI 4, HYGI. 29, 244, 274)   473 SU.   475 cfr. EM 303. 33, sch. in OT 3 et in EUR. Or. 12   477 HE. in v. πρὸς ἕω, sch. in ARISTOPH. Achar. 961

---

1 ἐπὶ δὲ RM, qui scholion 472³ huic praeposuerunt   2 μητίνῳ L, -νον RM, corr. Mueller [HGF I 97]   ἰφινόης RM   3 ὁ] δὲ RM   δαιδαλίδα L, -λίδ' RM, corr. Lasc.   5 ἀπαλάμου RM   6 ἀμφοτερ. om. L   8 τάς] τὰ RM   13 ἢ] καὶ L   ὅτε (an ὁτὲ voluit?) RM; ⟨τὸ χ⟩ supplevi, quod hoc σημεῖον veteres grammatici tum quoque appingere solebant cum aliqua vox peculiari quadam vi esset usurpata (cfr. RÖMER, Abh. bay. Ak., philos.-phil. Cl. XIX, 657 ss.); Atticorum autem proprium fuisse interdum voce στέμματα uti cum ἔρια indicare vellent, Etymologicum M., 303. 34, nos docet   18 δὴ καὶ] ἤδη R   19 ἐχύσεις RM (necnon sch. in Aristoph.)   21 om. R